# 19 OCTOMBRIE

# SLUJBA SF.IERARH-MUCENIC SADOT AL PERSIEI

## MINEIUL-GR

# ΟΚΤΩΒΡΙΟΣ 19

# ΣΑΔΩΘ ΙΕΡΟΜΑΡΤΥΣ

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὴν α΄ Στάσιν τοῦ α΄ Καθίσματος τοῦ Ψαλτηρίου. Είς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ παρόντα Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Παμμάκαρ Σαδὼθ θαυματουργέ, φωστὴρ στερεώματος τῆς Ἐκκλησίας λαμπρότατε· ταύτην φωτίσας γάρ, ἀκτῖσι δογμάτων, τῆς διδασκαλίας σου, καὶ στέφει Μαρτυρίου κοσμούμενος, Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Τῷ θείῳ σου αἵματι Σαδώθ, τὴν στολὴν ἐφαίδρυνας, τῆς ἱερᾶς διπλοΐδος σου, καὶ προσενήνοχας, τῷ Χριστῷ παμμάκαρ, σεαυτὸν θυσίαν τε, ὡς μύστης τοῦ Θεοῦ διαπρύσιος. Ὅθεν ἀπείληφας, τῶν θαυμάτων, τὴν ἐνέργειαν, δαψιλεύειν τοῖς πόθῳ τιμῶσί σε.

Μαρτύρων πληθὺν μάκαρ Σαδώθ, τῷ Θεῷ προσήνεγκας, καταβαλῶν τὰ φρυάγματα, Περσῶν ἐνστάσει σου, καρτερᾷ θεόφρον, διὸ σὺν Ἀγγέλοις νῦν, χορεύων μετ' αὐτῶν Χριστὸν πρέσβευε, ἡμῖν

δωρήσασθαι, τοῖς τιμῶσί σου τὴν ἄθλησιν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πορφύραν ἐξ αἵματος φαιδράν, ἐνεδύσω ὕστερον, προδιαπρέπων ἐνδύμασιν, ἱεραρχίας τε, καὶ προκαταρτίζων, τοὺς λαοὺς εἰς ἄθλησιν· Μάρτυς καὶ Ποιμὴν ἀξιάγαστε. Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. β΄.*

Δεῦτε οἱ πιστοὶ σήμερον, εὐφημήσωμεν ἐπαξίως, τὸν Ἱερομύστην τῶν Χριστοῦ Μυστηρίων Σαδὼθ τὸν ἀοίδιμον, τὸν ἔνδοξον Ἱεράρχην, καὶ ἀήττητον Ἀθλητὴν καὶ τῆς πλάνης καθαιρέτην, οὗτος γὰρ τὴν ἀθεΐαν τῶν Περσῶν καταπατήσας, τοὺς κάμπτοντας γόνυ τῷ ἡλίῳ καὶ σεβομένους τὸ πῦρ, παῤῥησίᾳ διήλεγχε. Ὅθεν ὑπ᾽ αὐτῶν μυρίαις βασάνοις καθυποβληθεὶς, καὶ τὴν γλῶσσαν ἀφαιρεθείς, Χριστὸν μόνον σέβομαι τὸν Κτίστην τῶν ἁπάντων αὖθις ἀνέκραζε, καὶ πολλοὺς τῷ Κυρίῳ προσήγαγε Μάρτυρας. Καὶ νῦν μετ᾽ Ἀγγέλων παριστάμενος, αἰτεῖται τὴν εἰρήνην τῷ κόσμῳ καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Ὁ αὐτός.*

Τίς μὴ μακαρίσῃ Σε Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει Σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ Αὐτὸς ἐκ

Σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων· καὶ φύσει γενόμενος ἄνθρωπος δι ἡμᾶς· ούκ είς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας· καὶ τὰ Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα.(Κεφ. ι'. 7)*

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· πᾶν δὲ τίμιον ούκ ἄξιον αὐτῆς ἐστίν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν.

Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (κεφ. γ΄, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ΄ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἄξιους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ΄ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Δ΄. 7-15).*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τὸν Στίχον, Στιχηρὰ Ἰδιόμελα. Ἦχος α΄.*

Νομοθεσίᾳ τοῦ Σωτῆρος ἑπόμενος, δεκαπλῆν δεκάδα προσάγων Χριστῷ, ὡς οἰκέτης ἀγαθότατος τὸ δοθὲν σοὶ τάλαντον ἐμμελῶς ἐπηύξησας. Ὅθεν πρὸς μονὰς σκηνούμενος φωτοειδεῖς, καὶ τρανῶς ἀπολαύων τῆς θεώσεως, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Στίχ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Πρόμαχος Ὀρθοδοξίας καὶ τῆς εὐσεβείας κῆρυξ, καὶ ἐγκαλλώπισμα τῆς Ἐκκλησίας, ἀνεδείχθης

Ἱερομάρτυς Σαδώθ, πολλοὺς ἐπαλείφων πρὸς Θεογνωσίας καὶ δι’ αἵματος ἀθλητικοῦ εἰς τὴν οὐράνιον ἐπανάγων Βασιλείαν, Χριστὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄. Στιχ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Φωστὴρ ἐφάνης λαμπρότατος, τοῖς ἐν ζόφῳ τῆς ἀσεβείας καθημένοις, ζήλῳ γὰρ θείῳ πυρουμένος, ξεσμοὺς καὶ βασάνους ὑπέμεινας, τοῖς βουνεύροις τυπτόμενος, τὴν δορὰν ἀφαιρούμενος, καὶ τὴν γλῶττάν σου τεμνόμενος, αὖθις δὲ ὡς καλλικέλαδος ἀηδὼν ἐκελάδεις τὰ θεία Μυστήρια. Ὡς ἔχων παῤῥησίαν πρὸς τὸν ἀγωνοθέτην Χριστόν, αὐτὸν ἱκέτευε ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων τὴν ἐτήσιον μνήμην σου.

*Δόξα. Ἦχος β΄.*

Χαρμονικῶς τῇ πανηγύρει τοῦ Ἱερομάρτυρος Σαδώθ, συνδράμωμεν ὦ φιλέορτοι, καὶ τοῦτον τοῖς ἐπαίνοις ὡς ἄνθεσι καταστέψωμεν, Χαίροις βοῶντες αὐτῷ, ὁ τοῦ Σαβωρίου τὴν ἄθεον πλάνην ἐλέγξας, καὶ τὰς ἀπειλὰς καὶ βασάνους αὐτοῦ ἐκνικήσας. Χαίροις ὁ Χειρὶ Θεοῦ εἰς Ἱερέα χρισθείς, καὶ τὰ λογικὰ πρόβατα τοῖς εὐαγγελικοῖς θρέψας λειμῶσι, ὡς σοφὸς καὶ ἀληθινὸς Ποιμήν. Χαίροις ὁ δι αἵματος ἀθλητικοῦ τὸν τῆς Ἀθλήσεως δρόμον ἐκτελέσας, καὶ προσαχθεὶς ὡς

θῦμα εὐπρόσδεκτον τῷ διὰ Σὲ τυθέντι Χριστῷ, Ὃν καθικέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Ἀπολυτίκιον. Ἦχος δ΄.*

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν, διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Σαδώθ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Θεοτοκίον.*

Τὸ ἀπ’ αἰῶνος ἀπόκρυφον καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ Σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι’ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Καὶ Ἀπόλυσις.*

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν. Καθίσματα. Ἦχος γ. Θείας Πίστεως*

Ζέων πίστεως, ὁμολογίᾳ, πλάνης ἔσβεσας, κακοδοξίαν, στηλιτεύσας τῶν είδώλων τὸ ἄθεον, καὶ ὁλοκαύτωμα θεῖον γενόμενος, θαυματουργίαις δροσίζεις τὰ πέρατα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀπειρόγαμε, εὐλογημένη, Νύμφη ἄφθορε, τοῦ Ποιητοῦ μου, Μαριὰμ ἡ τὸν Θεὸν σωματώσασα, τοὺς εὐλαβῶς προσκυνοῦντας τὸν Τόκον Σου, καὶ ἀληθῶς Θεοτόκον φρονοῦντάς σε, ῥῦσαι Δέσποινα, ἐχθροῦ τῆς δολίας μήνιδος, καὶ πάντων τῶν ἐν βίῳ περιστάσεων.

*Μετὰ τὴν β΄ Στιχολογίαν. Κάθισμα. Ἦχος γ΄. Θείας Πίστεως.*

Σκεῦος ἔνθεον, τῆς ἐγκρατείας, πλοῦτος ἄσυλος, τῆς εὐσεβείας, ἀνεδείχθης Σαδὼθ παμμακάριστε· ἐν ἀπαθείᾳ φαιδρύνας τὸν βίον σου, καὶ δεομένοις ἀντλήσας τὸ ἔλεον. Ἱερομάρτυς Σαδώθ, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θεία γέγονας, Σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα,

τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα Σεμνὴ τὸ μέγα ἔλεος.

*Ὁ Ν΄ Ψαλμός.*

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Εὐφημοῦμεν ἅπαντες, Ἀρχιερέων τὸ κλέος, καὶ ὑμνοῦμεν ᾄσμασι, σὲ ὡς Μαρτύρων καλλονήν, Σαδὼθ θαυμάτων τὸ πέλαγος, ἐξ οὗ πηγάζεις, τοῖς πίστει τιμῶσί σε

*Συναξάριον.*

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ Μηνός, μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Σαδώθ, καὶ τῶν σὺν αὐτῷ εἴκοσι καὶ ἑκατὸν Μαρτύρων, ἐν Περσίδι τελειωθέντων.

*Στ.:*

*Σαδὼθ ὁ θεῖος τὴν κάραν τμηθεὶς ξίφει,*

*Θεοῦ Σαβαὼθ νῦν παρίσταται Θρόνῳ.*

*Δεκὰς δεκαπλῆ Μαρτύρων συμμαρτύρων,*

*Καὶ δὶς δέκα θνήσκουσι πληγέντες ξίφει*

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθομεν.*

Ὡς ἐτροπώσω πάνσοφε, τοῦ Σταυροῦ τῇ Δυνάμει, βαρβαρικὴν θρασύτητα, καὶ τυράννων μανίαν, Σαδὼθ

Ἱερομάρτυς, καὶ ἡμῶν ταῖς εὐχαῖς σου, τὰ τῆς σαρκὸς κινήματα, καὶ παθῶν τὰς ἐφόδους, ἁμαρτιῶν, λύσιν παρεχόμενος Ἀθλοφόρε, ὡς παῤῥησίαν ἄπλετον, πρὸς Θεὸν κεκτημένος.

*Θεοτοκίον. Ὅμοιον.*

Θεοπαρόχων μέγεθος, Δωρεῶν καὶ Χαρίτων, ὧνπερ ἡμᾶς ἠξίωσας, Δέσποτα πανοικτίρμον, τίς λόγος δύναται φράσαι; ῥεύσαντας γὰρ ἀθλίως, Ζωῆς Χριστὲ τῆς κρείττονος, ἐπανάγεις αὖθις οὐσιωθεὶς, ὅλον με τὸν ἄνθρωπαν ἐκ Παρθένου, καὶ σώσας ὡς φιλάνθρωπος, καὶ Θεὸς Ἐλεήμων.

*Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν τὰ παρόντα Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ἱερέων ἐν χρίσματι, καὶ Μαρτύρων τῷ στέμματι, σαυτὸν κατεκόσμησας ἱερώτατε· καὶ γὰρ ὡς θῦμα προσέφερες, τὸ πάντιμον σῶμά σου, εὐαπόδεκτον Χριστῷ, καθαρὸν καὶ ἀμώμητον, ἐθελούσιον, ὑπομείναντι πάθος καὶ θυσίαν, ἑαυτὸν προσαγαγόντι, ὑπὲρ ἡμῶν τῷ Γεννήτορι. *(Δίς)*

Ὢ Σαδὼθ παμμακάριστε, Ἱερέων ἀγλάϊσμα, τῶν Μαρτύρων σύναθλε καὶ συμμέτοχε, καὶ τῶν Ἀγγέλων συνόμιλε· ὡς γὰρ αἰκιζόμενος καὶ τυπτόμενος δεινῶς, καὶ τὴν γλῶτταν τεμνόμενος, καὶ τὸ δέρμα σου, ἀφαιρούμενος μάκαρ οὐχ ἡττήθης οὐ τοὺς Πέρσας ἐπτοήθης, τοὺς προσκυνοῦντας τὸν ἥλιον.

Ὡς θυσία εὐπρόσδεκτος, προσηνέχθης τῷ Κτίστῃ σου, Σαδὼθ ἱερώτατε ἑπομένων σοι, σεπτῶν Μαρτύρων ἐν Πνεύματι, γενναίως τὸν τύραννον, καθελόντων καὶ Περσῶν, τὰ σεβάσματα ἅπαντα μεθ' ὧν ἔτυχες, τῶν στεφάνων τῆς νίκης καὶ τὴν χάριν, δαψιλεύεις τῶν θαυμάτων, τοῖς ἐκτελοῦσι τὴν μνήμην σου.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον ἡ φωταυγὴς τοῦ Ἱερομάρτυρος ἑορτή, ὡς ἡλιακὴ ἀκτὶς τὸν κόσμον σελαγίζουσα, πρὸς εὐφροσύνην μυστικὴν συγκαλεῖται τῶν Ὀρθοδόξων τὰ συστήματα. Οὗτος γὰρ ὁ τοῦ νοητοῦ Ἡλίου Χριστοῦ τοῦ Θεοῦ ἱερομύστης καὶ λάτρης, τῶν περσικῶν ἁπάντων σεβασμάτων ἀνεδείχθη καθαιρέτης, καὶ τοὺς τῳ αἰσθητῷ ἡλίῳ προσανέχοντας καὶ σεβομένους τὸ πῦρ, ἐχειραγώγησε πρὸς εὐσέβειαν, καὶ πολλοὺς ἐξ αὐτῶν τῷ Κυρίῳ παρέστησε Μάρτυρας. Καὶ νῦν τὸν ἀμαράντινον ἀναδησάμενος στέφανον, ἀδιαλείπτως πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου ἐκτελούντων τὴν πανένδοξον μνήμην αὐτοῦ.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, Σὺ εἶ ἡ Ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν Καρπὸν τῆς Ζωῆς, Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Σοῦ Ἁγίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις*

# Εἰς τὴν Λειτουργίαν

*Ὁ Ἀπόστολος.*

*Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.*

Στίχ.: *Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.*

*Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς του βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω· δώῃ γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

*Εὐαγγέλιον κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος: Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδώσωσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἤ τὶ λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τὶ λαλήσετε, οὐ γὰρ ὑμεῖς ἔστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.*